ὧν τί δή ποτε ὁσιώτερον δύναιτο ἂν ὑπάρχειν; ἢ περὶ ποῖόν τι ἄλλο ἀνὴρ ὑγιαίνων τὸν νοῦν θᾶττον σπουδάσειεν, ἢ τὸ ἐξ ἀρίστης καὶ ἐπαγνετωτάτης γυναικὸς ποιήσασθαι παῖδας τοὺς ἐσαῦθις γηροβοσκούς, καὶ ὥσπερ δὴ κρατίστους τε καὶ εὐσεβεστάτους πατρός τε καὶ μητρὸς φύλακας, καὶ πάσης τῆς οἰκίας φρουροὺς ἐσομένους; ὀρθῶς γὰρ ὑπὸ τῶν γονέων τρεφόμενοι κατὰ τὰ ἤθη, τά τε ὅσια καὶ δίκαια, χρηστοὶ ἀποβαίνοιεν ἂν δικαίως· τοὐναντίου δὲ γιγνομένου, μᾶλλον ζημιωθήσονται αὐτοί. ἐὰν γὰρ τοῦ βίου παράδειγμα τοῖς υἱοῖς μὴ παράσχωσιν οἱ γονεῖς, πρόφασιν ἐκείνοις καθ᾽ ἑαυτῶν καταλείψουσιν ἐναργῆ. καὶ ἔστι τοῦτο δέος μὴ αὐτῶν ὡς μὴ καλῶς βεβιωκότων οἱ υἱοὶ καταφρονήσαντες, ἀπολείψωσιν αὐτοὺς ἐν τῷ γήρᾳ. διὰ τοῦτο μηδὲν παραλειπτέον τῶν εἰς παίδευσιν γαμετῆς συντεινόντων· ὥστε ἐξ ἀρίστης, ὡς οἷόν τε μάλιστα, γεννᾶσθαι παῖδας. οὐδὲ γὰρ ὁ γεωργὸς παραλείπει οὐδέν, ὥστε τῇ ἀρίστῃ γῇ καὶ μάλιστα ἐξειργασμένῃ βαλεῖν τὸ σπέρμα, ὡς ἐκ τῆς τοιαύτης ὡς καλλίστους ποτὲ μέλλων κομίσεσθαι καρπούς· ἐὰν δὲ δύναμίς τις ἐπιστῇ, μαχόμενος πρὸς ἐναντίους προαιρεῖται μᾶλλον ἀποθανεῖν, ἢ ἐκείνης δηουμένης ἀνέχεσθαι. καὶ τὰ τοιαῦτα ἤδη ὡς μάλιστα ἐπαινεῖται. τοσαύτης οὖν γιγνομένης ἡμῖν φροντίδος ὑπὲρ τῆς τοῦ σώματος τροφῆς ποίους τινὰς δεῖ ἡμᾶς εἶναι ὑπέρ τε τῶν τέκνων καὶ τῆς ἐκεῖνα τρεφούσης μητρός; οὐχὶ ὡς τάχιστα πᾶσαν σπουδὴν ποιητέον; κατὰ τοῦτο γὰρ μόνον ἡ τῶν ἀνθρώπων κατάστασις, οὖσα θνητή, ἐκ τῆς διαδοχῆς τοῦ ἀεὶ εἶναι τυγχάνει· καὶ αἱ τῶν γονέων εὐχαὶ εἰς τοῦτο πᾶσαι συντείνουσι. διὸ ὁ ὅστις τούτων ἠμέλησε, καὶ τῶν θεῶν φαίνεται ἀμελήσας. τῶν οὖν θεῶν χάριν, τῶν γαμήλια θύσαντι αὐτῷ παρεστηκότων, καὶ γυναῖκα ἐπήγαγε, καὶ πολλῷ μᾶλλον τῇ γαμετῇ παρέδωκεν ἑαυτὸν εἰς τὸ τιμᾶν μετὰ τοὺς γονεῖς. σωφρονούσης δὲ γυναικὸς μεγίστη τιμή, τὸ τὸν ἴδιον ἄνδρα ἰδεῖν τὰ περὶ τὴν αἰδῶ φυλάττοντα ἑαυτῇ, ἄλλην μὲν μηδεμίαν γυναῖκα διὰ φροντίδος ἔχοντα μᾶλλον ἢ αὐτήν, αὐτὴ δὲ πασῶν τῶν ἄλλων ταύτην καὶ ἰδίαν καὶ πιστὴν ἑαυτῷ νομίζοντα. ὅσῳ γὰρ παρὰ τοῦ ἀνδρὸς ἡ γυνὴ πιστῶς καὶ δικαίως κηδομένη αἰσθήσεται, τοσούτῳ μείζονα ποιήσεται σπουδὴν καὶ αὐτὴν τοιαύτην καθίστασθαι, ὅστις οὖν φρόνιμος ἀνήρ,

A Quæ autem pietas maior esse possit? aut quod debeat studium esse sanovlli acrius, quàm ex optima laudatissimáque coniuge liberos suscipere, qui quasi pabulum quoddam sint senectutis, & parentum amborum præsidium atque tutela? Hi enim à parentibus rectè educati, & bonis moribus pietatéque instituti, probi scilicet euadent. Sin aliter, erit hoc eis detrimento. Nisi enim exemplum vitæ proponant B ad imitandum liberis parentes, occasionem eis planè dant, pro se aduersus parentes caussam dicendi. Periculúmque est, ne vt futiles post vitam non bene actam contemti, in senectute à liberis tales parentes deserantur. Nihil igitur prętermittendum est omnium quæ ad bene instituendam vxorem pertinent, vt quàm optima sit disciplina domestica, & ex præstantissima coniuge liberi procreentur. Nam & agri- C cola omnibus modis operam dat, vt solùm maximè fertile & diligentissimè cultum conseratur, quòd ita demum vberrimos se fructus percepturum esse confidat. Atque etiam hostili vi imminente, propugnare pro solo suo, & vitæ periculum adire non dubitat, vt à vastitate illud defendat. Quòd si ita mortem oppetat, mors ea laudem maximam meretur. Cùm autem tantum curæ ac laboris suscipiatur D victus, quo corpus alatur, gratia, quid pro liberis & horum matre atque nutrice faciendum? nunquid omne protinus protectionis studium ac cura adhibenda? Coniugio enim solo fit, vt homines conditionis mortalis, successione perpetua immortalitatem consequantur, & huc vota omnia parentum tendunt. Huiusque rei incuria eò pertinet, vt in ea diuinum numen negligatur, quo præsente sacra E nuptiarum facta, & ducta vxor est, & ei se vir tradidit cui post suos parentes honorem haberet præcipuum. Habetur autem maximus honor castæ & pudicæ mulieri, si illa virum se sola esse contentum, & suam sibi integritatem conseruare, & persuasum habere intelligat, quòd vxoris erga se amor & fides sit singularis. Quòque magis autem & fidelius à viro se diligi vxor statuet, eò accuratiùs officio F suo fungi studebit. Prudenter igitur, qui parentibus, qui coniugi, qui liberis honor debeatur, constituendum est, vt tribuendo suum cuique iustitiæ & pietatis laus obtineatur. Suo autem se honore spoliari vnusquisque grauiter ferre consueuit.